# 6 The Scholia in Florence, BML, conv. soppr. 159 (GA 200), ff. 104r–167r

## 1. (f. 104r)

Τῶν μὲν δοκίμων καὶ ἐκκρίτων Εὐαγγελιστῶν οὐ̃ πολλοὶ πρὸς αὐτοῦ, Ματθαῖος τε καὶ Μᾶρκος πρὸς αὐτοῦ, καὶ μετὰ αὐτὸν ὁ θεσπέσιος Ἰωάννης, πολλοὶ δὲ οἱ ἀδόκιμοι εἰσί τε ἐπιγεγραμμένα πλείστα, ὡς τὸ κατὰ Αἰγυπτίους λεγόμενον, καὶ τὸ κατὰ Θωμᾶν, καὶ τὸ κατὰ Ματθίαν, καὶ τὸ ἐπιγεγραμμένον τῶν Δώδεκα, ἐτόλμησε δὲ καὶ Βασιλείδης κατὰ Βασιλείδην γράψαι, καὶ ἕτεροι πλεῖστοι, οἷς συνηπήχθην Οὐαλεντῖνος καὶ Μαρκίων καὶ οἱ κατ᾽ ἐκείνους, ὧν καὶ κατηγορεῖ τάχα ὁ μακάριος Λουκᾶς διὰ τοῦ ἐπεχείρησαν ὡς χωρὶς πνεύματι χαρίσματος ἐλθόντων ἐπὶ τὴν ἀναγραφὴν τοῦ εὐαγγελίου.

## 2. (f. 110v) ad Luke 3:8

Οὐχὶ λίθους ἐδείκνυεν τοῖς παρεστῶσι τότε ὁ Ἰωάννης, ἀλλὰ τὸ σκληρὸν καὶ λιθοκάρδιον τῶν συνηλεγμένων ἠνήττετο, ἐξ ὧν ὅτε πάντων καὶ ἕτεροι πλεῖστοι τῶν σῳζομένων ἠγέρθησαν.

## 3. (f. 111r) ad Luke 3:16

**Βα(σιλείου).** Βαπτίζει Χριστὸς ἐν Πνεύματι τοὺς ἀξίους ἁγιασμοῦ· τοὺς δὲ ἀναξίους ἐπὶ τὸ πῦρ παραπέμπει, τοὺς ἀλλοτρίους τοῦ ἀγαθοῦ τῷ κακῷ παραδιδούς. Τὸ τοῦ πυρὸς βάπτισμα τὴν ἐν τῇ κρίσει δοκιμασίαν λέγων, καθώς φησιν ὁ ἀπόστολος· *ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι, τὸ πῦρ δοκιμάσει.*

---

**1, 1–8** Τῶν … εὐαγγελίου fontem non inveni **2, 1–3** Οὐχὶ … ἠγέρθησαν fontem non inveni **3, 1–3** Βαπτίζει … παραδιδούς Basil. Caesar. Adversus Eunomium (libri 5) 29.740,20–24 **3–4** Τὸ … δοκιμάσει Basil. Caesar. De spiritu sancto 15.36,19–21

---

**1, 5** Βασιλείδης] Βασιλείδην corr. | Βασιλείδην] Βασιλίδην corr. **3, 3** καθώς] καθά Basil. Caesar. De spiritu sancto 15.36,20

Open Access. © 2024 Panagiotis Manafis, published by De Gruyter. BY-NC-ND This work is licensed under the Creative Commons Attribution-NonCommercial-NoDerivatives 4.0 License.
https://doi.org/10.1515/9783111325118-006

**4. (f. 111v) ad. Luke 3.23**

Ὁ μακάριος Ματθαῖος τὴν γενεαλογίαν καταβιβάζων, ἀπὸ Ἀβραὰμ ἄρχων, ἀφ’ οὗ ἡ κατὰ σὰρξ τοῦ Χριστοῦ γέννη(σις) ἦρκται, δεικν(ὺς) ὡς τ(ὰ) ἐν σαρξὶ ἀρχόμενα ἀεὶ καταρρεπῶς ἔχουσι καὶ πρὸς θάνατον κατ[.]τόσ[..], εἰ μήπου ἡ ἀνθρωπία φύσις τῷ θεῷ Λόγῳ προσομιλήσασα.

**5. (f. 138v) ad Luke 12:51**

Εἰ αὐτός ἐστι ἡ εἰρήνη ἡμῶν, ὁ τὸ μεσότοιχ(ον) τοῦ φραγμοῦ λύ(σας) καὶ κτείνας τὴν ἔχθραν, πῶς ἐνταῦθα φησὶν οὐ τοῦ *δοῦναι εἰρήνην παραγενομένην*, καὶ φαμὲν ὅτι οὐ πᾶσα εἰρήνη τὸ ἀκατάψεκτον ἔχει· τῆς γὰρ ἐπὶ κακῷ συμφωνίας, ἄμεινον ἡ ἐπ’ ἀγαθῶν διαφωνίας.

**6. (f. 160r) ad Luke 22:42**

**Γρ(ηγορίου) Νύ(σης).** Ὁ εἰπὼν ὅτι μὴ τὸ ἐμὸν θέλημα τὸ ἀνθρώπινον τῷ λόγῳ ἐσήμα(νε)· προσθεὶς δὲ τὸ σὸν ἔδειξε τὸ συναφὲς τῆς ἑαυτοῦ πρὸς τὸν πατέρα θεότητος, ἧς οὐδεμία θελήματός ἐστι διαφορὰ διὰ τὴν κοινωνίαν τῆς φύσεως.

---

**4, 1–4** Ὁ…προσομιλήσασα fontem non inveni **5, 1–4** Εἰ…διαφωνίας fontem non inveni **1** ὁ…λύσας Ephes. 2.14,2 **1–2** κτείνας…ἔχθραν Basil. Caesar. De baptismo libri duo 31.1564,16 **3** οὐ…ἔχει Cyril, *Comm.* 72.756,51–52 **6, 1–3** Ὁ…φύσεως Greg. Nyss., Antirrheticus, 3,1.181,23–27

---

**5, 4** διαφωνίας] ἀποκτείνας Basil. Caesar. De baptismo libri duo 31.1564,16 **6, 1** Ὁ] γὰρ add. Greg. Nyss., Antirrheticus 3,1.181,23 | ὅτι om. Greg. Nyss., Antirrheticus 3,1.181,23 | θέλημα om. Greg. Nyss., Antirrheticus 3,1.181,24